χωριζόμενα δὲ φρονήσεως καὶ ἀλλαττόμενα] *Disjungere autem hæc a prudentia, et invicem commutare, vide ne sit adumbratio quædam virtutis.* Iterum participium pro infinitivo. Comparatione *σκιαγραφίας* item utitur Rep. ii. p. 424. F. *ἐπειδὴ τὸ δοκεῖν, ὡς δηλοῦσί μοι οἱ σοφοὶ, καὶ τὰν ἀλήθειαν βιᾶται, καὶ κύριον εὐδαιμονίας, ἐπὶ τοῦτο δὴ τρεπτέον ὅλως; πρόθυρα μὲν καὶ σχῆμα κύκλῳ περὶ ἐμαυτὸν σκιαγραφίαν ἀρετῆς περιγραπτέον τὴν δὲ τοῦ σοφωτάτου Ἀρχιλόχου ἀλώπεκα ἑλκτέον ἐξόπισθεν κερδαλέαν καὶ ποικίλην.* Numenius apud Euseb. P. E. xiv. p. 730. A. de Arcesilao, *ὑπὸ σκιαγραφίας τῶν λόγων παντοδαπὸς πεφαντασμένος·* Plutarch. adv. Epicur. p. 1091. D. *Πλάτων—ἀπηγόρευε τὰς λυπῶν καὶ πόνων ἀπαλλαγὰς ἡδονὰς μὴ νομίζειν, ἀλλ' οἷόν τινα σκιαγραφίαν ἢ μίξιν οἰκείου καὶ ἀλλοτρίου, καθάπερ λευκοῦ καὶ μέλανος·* Pompeio p. 635. D. *ἔλεγε τραγῳδίαις καὶ σκιαγραφίαις πεπολεμηκέναι βασιλικαῖς τὸν Λούκουλλον.* Iamblich. Protrept. p. 52. *ὅπως κτήσεται ταύτην τὴν φρόνησιν, ἥτις γνώσεται τὴν ἀλήθειαν· γνοίη δ' ἄν τις αὐτὸ καὶ ἀπὸ τούτων εἰ θεωρήσειεν ὑπ' αὐγῆς* (leg. *αὐγὰς* ex codd. Memmiano et Regio.) *τὸν ἀνθρώπινον βίον· εὑρήσει γὰρ τὰ δοκοῦντα εἶναι μεγάλα τοῖς ἀνθρώποις πάντα ὄντα σκιαγραφίαν.* Sopater apud Stob. Flor. xliv. p. 313. *ἀπόδειξον δὲ σαυτὸν τῆς ἀρχῆς πρέποντα κόσμον, ἀλλὰ μὴ ταῖς ἔξωθεν καὶ ἐφημέροις σκιαγραφίαις καλλωπίζου.* Sext. Empir. Adv. Mathem. vii. 88. *Ἀνάξαρχον δὲ καὶ Μόνιμον, ὅτι σκιαγραφίᾳ ἀπείκασαν τὰ ὄντα, τοῖς τε κατὰ ὕπνους ἢ μανίαν προσπίπτουσι ταῦτα ὡμοιῶσθαι ὑπέλαβον·* ubi Fabricius perperam posuit *σκηνογραφίᾳ*, itemque in hoc Phædonis loco poni vult. Verbum *σκιαγραφεῖν* eodem sensu, *simulandi vana specie veritatem*, aliquoties ponitur a Platone v. c. Rep. ix. p. 507. A. *ἡ τῶν ἄλλων ἡδονὴ πλὴν τῆς τοῦ φρονίμου, οὐδὲ καθαρὰ ἀλλ' ἐσκιαγραφημένη τις·* quod Plutarchus modo citatus dixit *σκιαγραφίαν·* ibidem Plato p. 508. C. *ἡδοναῖς ξυνεῖναι μεμιγμέναις λύπαις, εἰδώλοις τῆς ἀληθοῦς ἡδονῆς καὶ ἐσκιαγραφημέναις.* Leg. ii. p. 580. B. *ἐσκιαγραφημένα τὰ δίκαιά ἐστι καὶ ἄδικα.* Parmen. p. 71. E. *οἷον ἐσκιαγραφημένα, ἀποστάντι μὲν ἓν πάντα φαινόμενα—προσελθόντι δέ γε πολλὰ καὶ ἕτερα.* Wytt.

χωριζόμενα δὲ φρον. καὶ ἀλαττόμ.] In Tub. deest καὶ, neque expressit Ficinus: *sin autem a sapientia segregata invicem commutantur.* Heind.

ἀλλήλων,[v] μὴ σκιαγραφία τις ᾖ[w] ἡ τοιαύτη[x] ἀρετὴ καὶ τῷ ὄντι ἀνδραποδώδης τε καὶ οὐδὲν ὑγιὲς[y] οὐδ' ἀληθὲς ἔχῃ,[z] τὸ δ' ἀληθὲς τῷ ὄντι ᾖ κάθαρσίς[a] τις τῶν τοιούτων[b] πάντων,[c] καὶ ἡ σωφροσύνη καὶ ἡ[d] δικαιοσύνη καὶ ἡ[e] ἀνδρία καὶ αὐτὴ[f] ἡ φρόνησις μὴ καθαρμός[g] τις[h] ᾖ. [§. 38.] Καὶ

pr 𝔄Π.—[w] εἴη G.—[x] τοσαύτη C.—[y] ὑγιὲς εἶναι 𝔄.—[z] ἔχουσα ΔΦGs et γρ Π, ἔχειν L.—[a] κάθαρσις ᾖ ΔΦGs et corr 𝔄.—[b] ἁπάντων G.—[c] καὶ post πάντων om Δ.—[d] ἡ ante δικαιοσύνη om E.—[e] ἡ om 𝔄.—[f] αὐτὴ 𝔄ΓΛΠΦCGs, αὐτὴ δὲ Δ : αὕτη s.—[g] καθαρισμὸς Δ.—[h] τι G.—[i] κινδυνεύουσι ΔG et pr Π, κινδυνεύσουσι H : κινδυ-

μὴ σκιαγραφία κ. τ. λ.] Platonicæ dictionis γλαφυρότης melius et rotundius exprimi videtur per particulam *ne* quam per longiorem periphrasin. Cic. 'Ne fuerit ille vir bonus.' Et καθαρμὸν verti *purgationem*, quo nomine Cicero utitur. Jam vero non videtur posse sine pulcherrimi loci ruina demi negatio μή. Loci nimirum istius hæc est sententia : Vult Plato docere quodnam sit verum virtutis fundamentum, quod ait esse Sapientiam, sine qua omnes virtutes politicæ sint meræ larvæ. Jam et illius quoque sapientiæ ἐντελέχειαν docet, videlicet Veritatem, quam omnium virtutum κάθαρσιν esse affirmat : ac proinde negat, politicas virtutes, videlicet Temperantiam, fortitudinem, ipsam denique civilem sapientiam esse καθαρμόν. quam doctrinam illustrat variis in locis, Theæteto, Alcibiade primo, Timæo, Gorgia, 6. De Republ. 7. Epist. etc. Serran.

σκιαγραφία τις ᾖ] Eleganter a pictoribus et statuariis, qui adumbrant, transfert ad virtutem, quæ adumbrata est, si speciem quidem habet, nec tamen est. Cic. pro M. Cœl. (5.) 'habuit ille maximarum non expressa signa, sed adumbrata virtutum.' Tusc. Qu. iii. 2. 'consectatur nullam eminentem effigiem virtutis, sed adumbratam imaginem gloriæ.' Ejusmodi virtutem adumbratam et Cicero *simulacrum virtutis* vocat. (Off. i. 15.) ex Platone, qui habet in Sympos. (190.) εἴδωλα ἀρετῆς. Εἴδωλον enim est fictum, opponiturque τῷ ἀληθεῖ. Theæt. §. vii. p. 111. Fisch. ψευδῆ καὶ εἴδωλα περὶ πλείονος ποιησάμενοι τοῦ ἀληθοῦς. Gottl.

καὶ οὐδὲν ὑγιὲς οὐδ' ἀληθὲς ἔχῃ] Tub. habet καὶ οὐδὲν ὑγιὲς εἶναι οὐδ' ἀληθὲς ἔχει. Schol. γρ. καὶ οὐδ' ἀληθὲς ἔχουσα. Et præstat sane hoc ἔχουσα propter præcedens τε, ni aliud hic vitium delituisse ex scriptura Cod. Tub. suspicere. Heind.

τὸ δ' ἀληθὲς κ. τ. λ.] *Revera autem certo purgatio talium omnium, et temperantia, et justitia, et fortitudo : atque ipsa prudentia vide ne sit purgatio.* Nunc singula deinceps notemus. Primum, τὸ δ' ἀληθὲς, idem est quod κατὰ δὲ τὸ ἀληθὲς, *secundum veritatem.* Huic subjungitur τῷ ὄντι, ut supra §. 13. quod significat notum aliquid vel jam dictum, ad quod præsens disputatio referatur, scilicet κάθαρσιν supra dictam §. 14. de qua jam exposuimus. Olympiodori, mystica subtilitate distinguentis verba apponere, nil attinet. Melius et ad verborum fidem versio Sicula, *utique enim et certissime.* Deinde τῶν τοιούτων spectat ad proxime antecedens τῶν τοιούτων. Porro, animum virtutis studio, i. e. philosophia purgari, præceptum est et aliorum philosophorum, et in primis Platonis, non modo in Phædone dialogo proditum, sed per totam ejus doctrinam diffusum : et diserte pronunciatum in Theæt. p. 128. D. F. Sophist. p. 153. A. Gorg. p. 312. Rep. vii. 488. A. Hinc sæpe καθαρτικαὶ virtutes ac disciplinæ, non modo apud Platonicos, sed et Aristotelem Poet. 16. et Politic. viii. 7. Denique solemnem hanc virtutis in quatuor istas partes distributionem Plato subinde tradit, veluti Rep. iv. p. 449. Leg. i. p. 567. D. et alibi, et apud Diog. Laert. iii. 80. sumtam ex Pythagoreorum doctrina, ut apparet in eorum fragmentis apud Stob. Flor. i. v. c. Theagis p. 8. Metopi p. 7. Cliniæ p. 8. Sumsit indidem Aristoteles, dissentiens tamen a Platonis ratione : quam postea sibi asseruerunt et celebrarunt Stoici : quos secutus est Cicero de Officiis, de Finibus, et alibi. Cæterum pro αὕτη recepimus αὐτή, ut jam Fischerus posuerat ex Stob. Iambl. Fic. secutus Forsterum : accedunt Vind. A B C. versio Sicula. Wytt.

καὶ αὐτὴ ἡ φρόν.] Sic Iambl. Stob. et Fic. vertens *ipsa prudentia.* Vulgo αὕτη. Heind.

II. iii. 28. κινδυνεύουσι[i] καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες οὐ φαῦλοί τινες[j] εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται, ἐν[k] βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε[l] καὶ τετελεσμένος

νεύωσι *s.—[j] τινες om pr 𝔄Π.—[k] ἐν om s.—[l] τε om ΦEs.—[m] θεὸν Δ.—[n] δὴ ὡς

καθαρμός τις] καθαρμὸς erat prima pars μυήσεως, *initiationis*, fiebatque ad Ilissum flumen, ita ut initiandus, in pelle victimæ Jovi immolatæ a daducho collocatus, aqua adspergeretur. V. Theo Smyrn. Μαθημ. Πλατ. c. 1. p. 18. et Meurs. Eleusin. c. 7. p. 18. Ceterum pertinet ad hunc locum Scholion Olympiodori a Casaubono Exercitatt. Antibar. p. 392. editum: ἐν τοῖς ἱεροῖς ἡγοῦντο μὲν αἱ πάνδημοι καθάρσεις· εἶτα ἐπὶ ταύταις αἱ ἀπορρητότεραι· μετὰ ταύτας συστάσεις· καὶ ἐπὶ ταύταις μυήσεις· ἐν τέλει δ' ἐποπτεῖαι. Ἀναλογοῦσιν αἱ ἠθικαί τε καὶ πολιτικαὶ ἀρεταὶ τοῖς ἐμφανέσι καθαρμοῖς· αἱ δὲ καθαρτικαὶ, ὅσαι ἀποσκευάζονται πάντα τὰ ἐκτὸς, τοῖς ἀπορρητοτέροις· αἱ δὲ περὶ τὰ νοητὰ θεωρητικαὶ ἐνέργειαι ταῖς συστάσεσιν· αἱ δὲ τούτων συναιρέσεις εἰς τὸ ἀμέριστον ταῖς μυήσεσιν· αἱ δὲ ἁπλαῖ τῶν ἁπλῶν εἰδῶν αὐτοψίαι ταῖς ἐποπτείαις. Fisch.

§. 38. καὶ κινδυνεύουσι] Sic Par. et Stob. (a quo scriptum ὡς κινδυνεύουσι.) Vulgo κινδυνεύωσι, quod quamvis recte pendeat a præced. μὴ, vereor tamen ut recte dicatur μὴ κινδυνεύῃ τοῦτο ἀληθὲς εἶναι, vide ne *fortasse* hoc verum sit. Heind.

κινδυνεύωσι] Hæc nobis esse suspecta videntur. Nam neque ἀπὸ τοῦ κοινοῦ ita potest pendere conjunctivus, ut referatur, quæ est quorundam opinio, ad præcedentem particulam μὴ, quoniam repugnat orationis series: nec Stobæi lectio, ὡς κινδυνεύουσι, satis placet, cum sequens infinitivus εἶναι non habeat unde pendent. Quapropter forte legi debet aut καὶ τοι κινδυνεύουσι, aut, quod melius est, κᾂν κινδυνεύωσι. Zeun.

καὶ οἱ τὰς τελ. ἡ. οὗτοι καταστ.] Hæc laudantur a Clemente Alexandr. Strom. iii. p. 433. sed ita, ut post τελετὰς in editis quidem libris addita legatur particula δέ. male. Fisch.

οὗτοι] H. l. est *noti illi*. V. Boeckh. in Plat. Min. p. 55. Aristoph. Ran. 429. Καὶ Καλλίαν γέ φασι Τοῦτον τὸν Ἱπποβίνου Κύσθου λεοντῆν ναυμαχεῖν ἐνημμένον, ubi glossa in Cod. τοῦτον expl. ὃν πάντες ἴσασι δηλονότι. Conf. Wolf. ad Demosth. Leptin. §. 63. p. 295. et de eodem usu pronominis *hic* Bentl. ad Terent. Adelph. v. 8. 23. Heind.

καταστήσαντες] Eurip. Bacch. 21. Κἀκεῖ χορεύσας καὶ καταστήσας ἐμὰς Τελετὰς—ἐς τήνδε—ἦλθον—πόλιν. Similiter οἱ τοὺς γυμνικοὺς ἀγῶνας καταστήσαντες Isocrat. Paneg. init.—Statim post τινὲς abest a Tub. et Edd. Stob. Heind.

ἀμύητος] Apud Suidam, qui v. Πλάτων hunc locum usque ad verba μετὰ θεῶν οἰκήσει laudat, est ὁ μὲν ἀτέλεστος καὶ ἀκάθαρτος—ἀφικόμενος—τετελεσμένος καὶ κεκαθαρμένος ἐκεῖ μεταχωρήσας. Sed scriptura librorum Theodoreti Θ. Π. i. p. 19. a scriptura librorum Platonis nihil discrepat. Fisch.

βορβόρῳ] Apud Aristoph. Ran. 146. Baccho ad inferos eunte, Xanthias comes ait, se videre σκότος καὶ βόρβορον. Gottl.

ἐν βορβόρῳ κείσεται] Orphicum dictum multi post Platonem vel memorarunt vel imitati sunt: quos annotavimus ad Plutarchi Fragm. de Anima, libro de S. N. V. subjectum p. 137. quibus addatur Theodoret. Serm. i. p. 483. C. Suid. in Πλάτων, et in Lactantio Inst. Div. vii. 7. animadvertatur error, a quo pro Platone vel alio ponitur Zeno Stoicus, qui hoc dictum celebraverit. Wytt.

ἐν βορβόρῳ κείσεται] Hymn. in Cerer. 485. Ὄλβιος, ὃς τάδ' ὄπωπεν ἐπιχθονίων ἀνθρώπων· Ὃς δ' ἀτελὴς, ἱερῶν ὅς τ' ἄμμορος, οὔποθ' ὁμοίων Αἶσαν ἔχει, φθίμενός περ, ὑπὸ ζόφῳ εὐρώεντι, ubi Platonis hunc locum proferens Ruhnkenius laudavit Meurs. Eleusin. c. 18. et Casaub. Exerc. xvi. adv. Baron. p. 546. Ab Orpheo, id est, ex Orphicorum disciplina, sumpta hæc esse, auctor est Olympiod. cujus Scholion legitur in Fragm. Orph. p. 509. Herm. διόπερ καὶ παρᾳδεῖ ἔπος Ὀρφικὸν τὸ λέγον, ὅτι ὅστις δ' ἡμῶν ἀτέλεστος, ὥσπερ ἐν βορβόρῳ κείσεται ἐν ᾅδου. Plato de Rep. ii. p. 363. D. Μουσαῖος—καὶ ὁ υἱὸς αὐτοῦ—τοὺς ἀνοσίους καὶ ἀδίκους εἰς πηλόν τινα κατορύττουσιν ἐν ᾅδου et ibid. deinde pag. seq.

ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν[m] οἰκήσει. εἰσὶ γὰρ δή, φασὶν[n] οἱ περὶ τὰς τελετάς, ναρθηκοφόροι μὲν πολλοί, βάκχοι δέ τε[o] παῦροι·[p] οὗτοι δ' εἰσὶ κατὰ τὴν ἐμὴν δόξαν οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες ὀρθῶς. ὧν δὴ καὶ ἐγὼ[q] κατά γε[r] τὸ δυνατὸν οὐδὲν ἀπέλιπον ἐν τῷ βίῳ, ἀλλὰ παντὶ τρόπῳ προὐ-

φασιν ΔΠΦs et rc G.—[o] γε s, om L.—[p] παῦροι δέ τε βάκχοι s.—[q] ἐγὼ ℨΠ: ἔγωγε

E. Βίβλων ὅμαδον παρέχονται (οἱ μάντεις) Μουσαίου καὶ Ὀρφέως—καθ' ἃς θυηπολοῦσι πείθοντες—ὡς ἄρα λύσεις τε καὶ καθαρμοὶ ἀδικημάτων διὰ θυσιῶν καὶ παιδιᾶς ἡδονῶν εἰσὶ μὲν ἔτι ζῶσιν, εἰσὶ δὲ καὶ τελευτήσασιν, ἃς δὴ τελετὰς καλοῦσιν, αἳ τῶν ἐκεῖ κακῶν ἀπολύουσιν ἡμᾶς· μὴ θύσαντας δὲ δεινὰ περιμένει. Inde Diog. Cynicus apud Laert. vi. 39. γελοῖον εἰ Ἀγησίλαος μὲν καὶ Ἐπαμινώνδας ἐν τῷ βορβόρῳ διάξουσιν, εὐτελεῖς δέ τινες μεμυημένοι ἐν ταῖς μακάρων νήσοις ἔσονται. Conf. Wyttenb. ad Plut. Fragm. post librum de S. N. V. p. 137. Brodæus ad Crinag. Epigr. Anthol. p. 56.—οἰκήσει Stob. οἰκήσεται. Heind.

ὁ δὲ κεκαθαρμένος—μετὰ θεῶν οἰκήσει] De felicitate initiatorum multa leguntur apud veteres. Sophocles apud Plutarch. de Aud. Poet. c. 4. ὡς τρισόλβιοι Κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη Μολῶσ' εἰς ᾅδου. Adde Aristoph. Ran. 346. Æsch. in Axioch. §. 20. Cur hæc τέλη initia dicta sint v. Cic. Verr. v. 72. Gottl.

φασὶν οἱ περὶ τὰς τελετὰς] Includenda parenthesi censui hæc verba quod proverbium hoc τοῖς περὶ τὰς τελετὰς familiare fuisse verisimile sit: at vero οἱ περὶ τὰς τελετὰς cum ναρθηκοφόροι non apte jungatur: præsertim quum in versu proverbiali suis constante numeris nulla τελετῶν mentio fiat cum voce ναρθηκοφόροι. Est enim hic, Πολλοὶ μὲν ναρθηκοφόροι, βάκχοι δέ γε παῦροι, vel δέ τε παῦροι: aut παῦροι δέ τε βάκχοι. Steph.

φασὶν] Tub. Stob. et Iambl. ὥς φασιν. Heind.

ναρθηκοφόροι] E Platone Pollux x. 177. v. Casaubonus de Satyr. p. 57. et Salmasius Hyl. Iatric. p. 5. Clemens quidem Alexandrinus contulit istud Orphei carmen cum voce Christi (Matth. xx. 16. xxii. 14.) Πολλοί εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. Fisch.

ναρθηκοφόροι μὲν πολλοὶ, βάκχοι δέ γε παῦροι] Olympiodorus p. 24. παρῳδεῖ ἔπος Ὀρφικὸν τὸ λέγον, ὅτι, ὅστις δ' ἡμῶν ἀτέλεστος, ὥσπερ ἐν βορβόρῳ κείσεται· τελετὴ γάρ ἐστι ἡ τῶν ἀρετῶν βακχεία· καί φησι 'Πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι' ναρθηκοφόρους, οὐ μὴν βάκχους τοὺς πολιτικοὺς καλῶν· ναρθηκοφόρους δὲ βάκχους, τοὺς καθαρτικούς. Versus Orphicus proverbii instar habet. Videantur Zenob. v. 77. Erasm. Adag. p. 1668. Antholog. Gr. i. 3. 6. Clemens Alex. Strom. i. p. 315. C. et v. p. 554. A. Theodor. Serm. xii. p. 668. B. Marinus Vita Procli p. 52. Wytt.

βάκχοι] Schol. Aristoph. Equit. 406. βάκχον οὐ τὸν Διόνυσον ἐκάλουν μόνον, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια βάκχους ἐκάλουν. Casaub. de Satyr. Poes. i. p. 57. 'Proprie βάκχοι sunt orgiastæ et ministri. Clem. Alex. Διόνυσον Μαινόλην ὀργιάζουσι βάκχοι. Orpheus in hymno Sileni Ναΐσι καὶ βάκχοις ἡγούμενε κιττοφόροισι. Sic accipiendum in proverbio, πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι. In Dionysiacis solennibus, puta in phallagogiis, sacris trietericis, Iacchi exagoge, similibusve pompis multi arrepto thyrso aut ferula προσκαίρους se præbebant Liberi patris orgiastas: nec solum viri, sed etiam honestæ matronæ ac virgines. Lege Diodorum Sic. libro iii. 73. sed hi θυρσοφόροι aut ναρθηκοφόροι solum appellabantur: at qui orgia jugiter et legitime curabant neque a suscepto ministerio recedebant, hi non solum narthecophori dicebantur, sed ναρθηκοφόροι βάκχοι etc.' Heind.

δέ γε] In ipso versu recte scriptum δέ τε; h. l. ubi versum dissolvit Plato, unice verum puto, quod est in Tub. et Ald. atque inde in Edd. vulgatis, δέ γε, quum δέ τε exhibeant Aug. Bas. 2. aliique, qui hæc laudant, scriptores. Heind.

κατά γε τὸ δ.] Ita Tub. et Clem. Alex. Ceteri libri γε non habent. Aristoph. Eccl. 70. Νὴ τὴν Ἑκάτην, καλόν γ' ἔγωγε τουτονί, ut vere ibi lib. Rav. Forsteri autem in his suspicionem conjectantis ἀπελιπόμην recte elevavit Fischerus, verba οὐδὲν ἀπέλιπον respondere monens verbis παντὶ τρόπῳ προὐθυμήθην, genit. ὧν cu-

θυμήθην[s] γενέσθαι. εἰ δὲ ὀρθῶς προὐθυμήθην καί τι[t] ἠνυσάμην,[u] ἐκεῖσε ἐλθόντες τὸ σαφὲς[v] εἰσόμεθα,[w] ἐὰν[x] θεὸς ἐθέλῃ, ὀλίγον[y] ὕστερον, ὡς ἐμοὶ[z] δοκεῖ.

§. 39. Ταῦτ' οὖν ἐγώ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, ἀπολογοῦμαι, ὡς εἰκότως ὑμᾶς τε ἀπολείπων[a] καὶ τοὺς ἐνθάδε δεσπότας οὐ χαλεπῶς φέρω οὐδ' ἀγανακτῶ, ἡγούμενος κἀκεῖ οὐδὲν ἧττον ἢ[b] ἐνθάδε δεσπόταις τε ἀγαθοῖς ἐντεύξεσθαι καὶ ἑταίροις·[c] τοῖς δὲ πολλοῖς ἀπιστίαν παρέχει. εἴ τι οὖν ὑμῖν πιθανώτερός εἰμι ἐν τῇ ἀπολογίᾳ ἢ τοῖς Ἀθηναίων δικασταῖς, εὖ ἂν ἔχοι.

*ς.—[r] γε add ℭΔΠΦGs.—[s] προυθυμούμην ς: προυθ.... ὀρθῶς om s.—[t] καί τι καὶ τε Γ.—[u] ἠνυσάμην cod. Aug. ἠνύσαμεν *ς.—[v] εἰσόμεθα τὸ σαφὲς ἐκεῖσε ἐλθόντες Φ.—[w] οἰσόμεθα I.—[x] ἂν ℭ.—[y] ὀλίγῳ Φs.—[z] ἔμοιγε Φ.—[a] ἀπολιπὼν ℭΠ: ἀπολεί(αι)πω ς.—[b] ἢ om Δ.—[c] ἑτέροις Δ, ἑτεροις ℭ.—[d] δὲ Δ.—[e] ἔμοιγε δοκεῖ ℭΠ, δοκεῖ

hærere cum infinit. *γενέσθαι*. Sensus est: *quorum unus ut fierem, nihil, quantum in me fuit, in vita intentatum reliqui, sed omnibus modis studui.* οὐδὲν ἀπολείπειν est *nihil reliqui facere*, omnia experiri. Sic προθυμίας οὐδὲν ἀπολείπειν Menon. p. 77. A. HEIND.

προυθυμούμην] Præferem προυθυμήθην, quod omnes Vindob. et Veneti dant. WYTT.

προὐθυμήθην] Ita pro vulgato προὐθυμούμην ex Aug. Tub. et Clem. Alex. in ordinem cum Fischero recepi. HEIND.

καί τι ἠνυσάμην] Absone Edd. post προὐθυμήθην exhibent multitudinis numero ἠνύσαμεν. Verum ἠνυσάμην unus præstat Aug. Cf. Aristoph. Plut. 196. Κἂν ταῦτ' ἀνύσηται, τετταράκοντα βούλεται. Æsch. Prom. 706. Τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα Κούφως. Soph. Trach. 996. οἵαν ἀνθ' οἵων θυσιῶν ἐπί μοι μελέῳ χάριν ἠνύσω, ubi invitis libris Brunckius edidit ἤνυσας, eorum immemor quæ ipse scripserat ad Eurip. Bacch. 131. Theocrit. xviii. 16. ἀγαθός τις ἐπέπταρεν ἐρχομένῳ τοι—ὡς ἀνύσαιο, ubi vid. Valckenar. HEIND. At ipse cum sociis hoc effecerat, et sequitur ἐλθόντες, quod non potuerit dici, nisi pluralis præcessisset. BECK.

ἐκεῖσε ἐλθόντες τὸ σαφὲς εἰσόμεθα] Olympiodorus p. 25. Οὐχ ὅτι ἠγνόει ὁ Σωκράτης καὶ διστάζων ταῦτα λέγει, ἀλλὰ τοῦτο διὰ φιλόσοφον εὐλάβειαν· φορτικὸν γὰρ τὸ ἑαυτὸν ἐπαινεῖν· οὕτω δὴ καὶ ἀκοτέρω ἔλεγεν, ὅτι παρὰ δεσπότας ἀγαθοὺς ἄπειμι, ἀκριβῶς οἶδα· εἰ δὲ παρ' ἀνδράσιν ἀγαθοῖς, οὔπω δῆλον. Τινὲς δέ φασιν, ὅτι ἀμφιβάλλει ὁ Πλάτων εἰ ἀθάνατος ἡ ψυχή, διὸ ταῦτα λέγει ὁ Σωκράτης. Ὁ δέ γε φιλόσοφος Ἀμμώνιος μονόβιβλον ἔγραψεν εἰς τὸ χωρίον ἀπολογούμενος ὑπὲρ αὐτοῦ. Πῶς δὲ ἀμφιβάλλει ὁ ἐφεξῆς δι' ἀῤῥαγῶν τὴν ψυχὴν δεικνὺς ἀΐδιον, καὶ ὁ ἀλλαχοῦ εἰπών, ὅτι δεῖ ἀδαμαντίνοις δεσμοῖς ταῦτα ἔχοντα κατιέναι εἰς ᾅδου. Conferenda sunt hæc cum supra allatis ad §. 13. Novum est, quod hinc discimus, Ammonium in hunc Platonici Phædonis locum singulare scriptum composuisse. Neque vero mutandum ἀῤῥαγῶν, *per infragilia, inconcussa, argumenta*, quod mutare tentabat Forster legendo ἐναργῶν pro ἀῤῥγῶν (sic). WYTT.

§. 39. ἀπολείπω] Sic unus, ut videtur, Stephanus dedit; omnes enim alii Forstero et Fischero consulti habent ἀπολείπων, quod vel constructio loci postulat. Et sic quoque Vind. A B C D E F G H. Venet. A B. et versio Sicula. WYTT.

ἀπολείπων] Operarum vitio, opinor, una Steph. Ed. ἀπολείπω. Participium habent cum Aug. et Tub. veteres Edd. idque ipsa sermonis structura requirit. Sensus est: *Hanc igitur ego defensionem affero, quam recte et convenienter, dum et vos et qui hic sunt dominos relinquo, id non ægre feram neque indigner* etc. HEIND.

κἀκεῖ] Sic pro καὶ ἐκεῖ Tub.—τοῖς δὲ πολλοῖς ἀπ. παρ. *quod tamen vulgo*

Εἰπόντος δὴ[d] τοῦ Σωκράτους ταῦτα ὑπολαβὼν ὁ Κέβης §. 16. W.
ἔφη Ὦ Σώκρατες, τὰ μὲν ἄλλα δοκεῖ ἔμοιγε[e] καλῶς λέ- II. iii. 20.
γεσθαι, τὰ δὲ περὶ τῆς ψυχῆς πολλὴν ἀπιστίαν παρέχει I. 70.
τοῖς ἀνθρώποις, μὴ ἐπειδὰν ἀπαλλαγῇ τοῦ σώματος οὐδαμοῦ[f] ἔτι ᾖ, ἀλλ' ἐκείνῃ τῇ ἡμέρᾳ διαφθείρηταί τε[g] καὶ ἀπολλύηται[h] ᾗ ἂν[i] ἄνθρωπος[j] ἀποθάνῃ,[k] εὐθὺς[l] ἀπαλλαττομένη τοῦ σώματος, καὶ ἐκβαίνουσα, ὥς περ πνεῦμα ἢ καπνὸς διασκεδασθεῖσα,[m] οἴχηται διαπτομένη[n] καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ, ἐπεὶ εἴ περ εἴη που αὐτὴ[o] καθ' ἑαυτὴν ξυνηθροισμένη[p] καὶ ἀπηλλαγμένη τούτων τῶν κακῶν ὧν σὺ νῦν δὴ[q] διῆλθες, πολλὴ ἂν ἐλπὶς εἴη καὶ καλή,[r] ὦ Σώκρατες, ὡς ἀληθῆ ἐστὶν ἃ σὺ λέγεις. [§. 40.] Ἀλλὰ τοῦτο δὴ ἴσως[s] οὐκ ὀλίγης παραμυθίας δεῖται καὶ πίστεως, ὡς ἔστι

ἐμοὶ Φ.—[f] οὐδαμοῦ...σώματος om I.—[g] τι Λ.—[h] ἀπολύηται ΞΦ, ἀπόλλυται pr Γ.—[i] ἂν om pr Π.—[j] ἄνθρωπος Π: ὁ ἄνθρωπος *s.—[k] ἀποθνήσκει pr 𝔄Π, ἀποθνήσκῃ corr.—[l] εὐθὺς om s.—[m] διασκευασθεῖσα ΛΙ.—[n] διαπτομένη 𝔄ΓΛΠCEIs, διαπτωμένη G, διιπταμένη Φ, διαττομένη HL: διαπταμένη s.—[o] αὐτὴν 𝔄.—[p] ξ. ΔΓΛΞΥΦCGHI Ls.—[q] δὴ add 𝔄.—[r] καὶ καλὴ om pr Γ.—[s] δὴ σαφῶς ἴσως ΠΦs.—[t] τι E.—[u] ἢ add

incredibile est. παρέχει sc. αὐτὸ s. τὸ πρᾶγμα. Vid. not. ad Gorg. §. 72. Heind.

εἰπόντος δὴ τοῦ Σωκράτους—περὶ αὐτῶν] Habet Stobæus Eclog. Phys. p. 94. Wytt.

ἔμοιγε δοκεῖ] Ita Tub. Par. et Stob. Vulgo δοκεῖ ἔμοιγε.—Mox Tub. ἀποθνήσκῃ pro ἀποθάνῃ. Heind.

εὐθὺς] Videri possit legendum καὶ εὐθὺς, ut jam Zeunius p. 118. suspicatus est. Certe Ficinus vertit, *statimque sejuncta a corpore.* Fisch.

εὐθὺς ἀπαλλαττ.] *Statim ut discedit a corpore.* Hæc jungenda præcedentibus, illa καὶ ἐκβαίνουσα etc. aliud incipiunt periodi membrum. Heind.

ὥσπερ πνεῦμα ἢ καπνὸς διασκεδασθεῖσα οἴχηται ἀποπταμένη] Eadem comparatio repetitur §. 24. 25. 34. a nobis tractata est ad Plutarch. de S. N. V. p. 560. C. (edit. vet. p. 80.) Quibus addantur Homeri Il. Ψ. 100. ψυχὴ δὲ κατὰ χθονὸς ἠΰτε καπνὸς Ὤιχετο τετριγυῖα, Epicuri in Epist. ad Herodotum apud Diog. L. x. 65. Versum a Plutarcho citatum de Isid. et Osir. p. 360. C. Empedoclis esse, testatur Sext. Empiric. adv. Mathem. vii. 123. Wytt.

διαπτομένη] In Aug. repertum hoc ut Ἀττικώτερον prætuli vulgato διαπταμένη. Heind.

οὐδὲν ἔτι οὐδαμοῦ ᾖ] *Nil amplius usquam sit, omnino nihil sit, funditus perierit.* Dicitur et infra §. 34. et in consuetudine pro *nullo loco*, nullo in *numero esse:* quod attigit Ruhnk. ad Xenoph. Mem. Socr. i. 2. 52. laudans Eurip. Iph. T. 115. δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ· cui addatur Demosth. Pro Corona p. 357. C. ὑμῶν δὲ οὐδεὶς ἦν οὐδαμοῦ· ubi tamen alia quadam ratione est, *nemo vero vestrum ullo in numero erat.* Similiter apud Plutarch. in Demosth. p. 852. C. οὐδὲν οὐδαμοῦ χείρων ἔδοξε τοῦ Ἐφιάλτου· ubi Palatini codd. duo et Mosq. dant μηδαμῇ. Apud philosophos item conjunctim et separatim dicuntur, pro οὐκ εἶναι, quandoquidem *esse* et *nusquam* esse repugnant. A Græco exemplo ducta sunt Latina: Ciceronis de Senect. 22. 'Nolite arbitrari, o mihi carissimi filii, me, cum a vobis discessero, nusquam aut nullum fore:' nam in Xenoph. Cyrop. viii. p. 236. D. unde positum est, ὡς οὐδὲν ἔσομαι ἐγὼ ἔτι. Plauti Cistell. iv. 2. 18. 'Nulla est, neque ego sum usquam; perdita perdidit me.' Wytt.

ὧν σὺ νῦν διῆλθες] Malim ὧν σ. νῦν δὴ διῆλ. cum Fischero. Heind.

§. 40. παραμυθίας δεῖται] *Consolatione*

τε[t] ἡ[u] ψυχὴ ἀποθανόντος τοῦ ἀνθρώπου καί τινα δύναμιν ἔχει καὶ φρόνησιν. Ἀληθῆ, ἔφη, λέγεις, ὁ Σωκράτης, ὦ Κέβης. ἀλλὰ τί δὴ ποιῶμεν; ἢ περὶ αὐτῶν τούτων[v] βούλει διαμυθολογῶμεν, εἴτε εἰκὸς οὕτως ἔχειν εἴτε μή;[w] Ἔγωγ' οὖν, ἔφη ὁ[x] Κέβης, ἡδέως ἂν ἀκούσαιμι ἥν τινα[y] δόξαν ἔχεις[z] περὶ αὐτῶν. Οὔκουν[a] γ' ἂν οἶμαι, ἦ δ' ὃς ὁ Σωκράτης, εἰπεῖν τινὰ νῦν ἀκούσαντα, οὐδ' εἰ κωμῳδοποιὸς[b] εἴη, ὡς ἀδο-

𝔄ΔΠΦCGs.—[v] τοῦτο Δ.—[w] ἢ μή Φ.—[x] ὦ L.—[y] ἥντινα pr Γ.—[z] ἔχῃς pr Γ.—[a] οὐκουν Δ.—[b] κωμῳδιοποιὸς 𝔄ΔΞΠΥCH et corr Λ.—[c] δοκεῖ χρὴ 𝔄ΔΠΦCEGHIs,

opus habet: ut item a Latinis *consolatio timoris*, ratio, qua timor ex animo eximitur et vanus esse ostenditur. Græcum *παραμυθία* non solum est consolatio animi, sed etiam judicii confirmatio, qua sententia difficilis et incredibilis ad probabilitatem explicatur. Sic sæpe Plutarch. v. c. De Pyth. Orac. p. 395. F. *οὐ παντάπασιν ἀπορήσομεν ἐπῳδῆς καὶ παραμυθίας πρὸς τὴν ἀπορίαν.* Defect. Orac. p. 428. E. *τοῦτο μὲν ἔστω παραμυθία τοῦ θαυμάζοντος—.* De Vultu in Orbe Lunæ p. 929. F. *ὃ δὲ ἰσχυρότατόν ἐστι τῶν ἀντιπιπτόντων, πότερον ἔτυχε τινὸς παραμυθίας, ἢ παρῆλθεν ἡμῶν τὸν ἑταῖρον.* De Animi Procreat. In Plat. Timæo, p. 1012. B. hoc argumentum ait propter difficultatem, *τὸν λόγον τοῦτον οὔτε ἄλλως εὐμεταχείριστον ὄντα, καὶ διὰ τὸ τοῖς πλείστοις τῶν ἀπὸ Πλάτωνος ὑπεναντιοῦσθαι δεόμενον παραμυθίας.* Adv. Colotem p. 1123. E. Longin. de Subl. iv. fin. p. 12. Simplic. in Aristot. de Cœlo p. 101. a. l. 14. WYTT.

παραμυθίας] H. l. est *persuasio*. Cf. Plutarch. de Anim. Procr. p. 1014. A. *πρῶτον ἣν ἔχω περὶ τούτων διάνοιαν ἐκθήσομαι πιστούμενος τῷ εἰκότι καὶ παραμυθούμενος ὡς ἔνεστι τὸ ἀληθὲς τοῦ λόγου καὶ παράδοξον.* HEIND.

ὡς ἔστι τε ἡ ψυχὴ] Articulum in his e Tub. et Stob. inserui cum Fischero. HEIND.

δύναμιν ἔχει καὶ φρόνησιν] Olymp. *Τινὰ ζωὴν ἔχει καὶ γνωστικὴν ἐπιστήμην. ἡ μὲν γὰρ δύναμις τὴν ζωτικὴν ἐνέργειαν δηλοῖ, ἡ δὲ φρόνησις τὴν ἐπιστημονικήν.* FORST.

τί δὴ ποιῶμεν;] Tub. *ποιοῦμεν;* ut de Rep. v. p. 461. E. *ἢ πῶς ποιοῦμεν;* Ibid. vii. p. 530. D. *ὡς—ἡμεῖς συγχωροῦμεν· ἢ πῶς ποιοῦμεν;* HEIND.

διαμυθολογῶμεν] Olymp. *Τί οὖν μῦθος τὰ λεγόμενα ὑπὸ Σωκράτους; ἢ τὴν ἐξ ἑπομένου πίστιν μυθολογίαν ἐκάλεσεν ὁ Σωκράτης, οἷός ἐστιν ὁ προκείμενος λόγος; κατασκευάζει γὰρ τὴν μὲν ἀθανασίαν τῆς ψυχῆς, οὐκ ἐκ τῆς οὐσίας ὁρμώμενος, ἀλλ' ἔκ τινος ἑπομένου τοῦ μεταβάλλειν τὸν θάνατον καὶ τὴν ζωὴν εἰς ἄλληλα. ταύτην οὖν μυθολογίαν εἶπεν.* FORST.

ἦ δ' ὃς ὁ Σωκράτης] An glossema est? FISCH. At vide p. 73. B. *ἔφη—ὦ Σιμμία, ὁ Σωκράτης.* BECK. [Immo p. 61. F. *ἦ δ' ὃς ὁ Σωκράτης.*]

οὐδ' εἰ κωμῳδοποιὸς εἴη] Socratem a Comicis in scena traductum, in primis ab Aristoph. in Nub. neminem fugit: ab Amipsia item inductam ejus personam, narrat Diog. L. ii. 28. et ab Eupolide reprehensum, eoque spectare hic Platonem annotat Olympiodorus: *τί βούλεται ἐνταῦθα τῷ Πλάτωνι ἡ μνήμη τῶν κωμῳδοποιῶν; ἢ τὸ λεγόμενον τοῦτό ἐστιν, ὅτι οὐ δώσω χώραν τοῖς κωμῳδοποιοῖς διαλοιδορεῖσθαί μοι· ὁ γὰρ Εὔπολίς φησι περὶ τοῦ Σωκράτους, Τί δῆτα ἐκεῖνον τὸν ἀδολέσχην καὶ πτωχὸν, ὅ τ' ἄλλα μὲν πεφρόντικεν, ὁπόθεν καταφαγεῖν ἔχοι, τούτου κατημέληκε·* qui versus fortasse hoc modo scripti fuerint: *Τί δῆτ' ἐκεῖ τιν' ἀδολέσχην πτωχὸν οἶσθ'; Ὅς τ' ἄλλα μὲν πεφρόντιχ'· ὅθεν φαγεῖν δ' ἔχοι, Τούτου κατημέληκε.* Alia de hoc argumento videantur apud Ruhnken. ad Xenoph. Mem. Socr. i. 2. 31. Cæterum Vind. D E. *κωμῳδιοποιός·* qua de forma alibi dicemus. WYTT.

κωμῳδοποιὸς] Olympiod. *ὁ Εὔπολίς φησι περὶ τοῦ Σωκράτους, τί δῆτα ἐκεῖνον τὸν ἀδολεσχὴν καὶ πτωχὸν, ὃς τἄλλα μὲν πεφρόντικεν· ὁπόθεν καταφαγεῖν ἔχοι, τούτου δὲ κατημέλητικε.* (Buttm. conj. *τί δῆτ' ἐκεῖνον—πτωχὸν, Ὃς τἄλλα μὲν πεφρόντικεν, Πόθεν δὲ καταφαγεῖν ἔχοι, Τούτου κατημέληκεν,* ut primus versus sit scazon, duo seqq. iambici dimetri, extremus dimeter catalecticus.) Com-

λεσχῶ καὶ οὐ περὶ προσηκόντων τοὺς λόγους ποιοῦμαι. εἰ οὖν δοκεῖ, χρὴ[c] διασκοπεῖσθαι. σκεψώμεθα δ'[d] αὐτὸ τῇδέ πῃ, εἴτε ἄρα ἐν Ἅιδου εἰσὶν αἱ ψυχαὶ τελευτησάντων τῶν ἀνθρώπων εἴτε καὶ οὔ. παλαιὸς μὲν οὖν ἔστι τις λόγος,[e] II. iii. 30. §. 17. W.

δοκεῖ χρῆναι corr Γ, δοκεῖ χρήσιμα Φ: δοκεῖ καὶ χρὴ *s.—[d] δὲ add ℵΠΦGs.—[e] τις

mune hoc in omnes omnino philosophos convicium τῆς ἀδολεσχίας περὶ τῶν μετεώρων a vulgo sumebant Comici. Vid. not. ad Cratyl. §. 39. HEIND.

εἰ οὖν δοκεῖ, χρὴ] Ita Codd. Aug. Tub. Paris. De Rep. ii. p. 328. B. Ἀλλ' εἰ δοκεῖ, οὕτω χρὴ ποιεῖν. Vulgo εἰ—δοκεῖ καὶ χρή. HEIND.

σκεψώμεθα—εἴτε ἄρα ἐν ᾅδου κ. τ. λ.] Olymp. Ὁ σκοπὸς τῷ προκειμένῳ λόγῳ δεῖξαι, οὐκ ἀθάνατον τὴν ψυχὴν, ἀλλ' ἐπιδιαμένουσαν χρόνον τινὰ μετὰ τὸν χωρισμὸν τοῦ σώματος, καὶ οὐ καθάπερ Ἰάμβλιχος οἴεται ἕκαστον λόγον δεικνῦναι τὴν ἀθανασίαν τῆς ψυχῆς.—οὐδὲ γὰρ ὁ ἐρωτῶν τοῦτο ἠρώτησε τὸ πρόβλημα, οὔτε ὁ ἀποκρινόμενος ἔδειξε τὴν ψυχὴν ἀθάνατον. ὁ μὲν γὰρ Κέβης ἠρώτησεν, εἰ δυνατὸν τὴν ψυχὴν χωρισθεῖσαν ἀπὸ τοῦ σώματος ἐπιδιαμένειν, καὶ μὴ δίκην πνεύματος διασκορπίζεσθαι. καὶ ὁ Σωκράτης δείκνυσιν ὅτι ἐπιδιαμένει χρόνον τινὰ μετὰ τὸν χωρισμὸν τοῦ σώματος, οὐ μὴν ὅτι καὶ ἀεὶ, ἔδειξε. FORST.

σκεψ. δὲ αὐτὸ] αὐτὸ explicatur verbis εἴτε ἄρα ἐν ᾅδ. atque τῇδέ πῃ refertur ad seqq. παλαιὸς μὲν οὖν etc. HEIND.

καὶ οὔ] καί που Aristippus. FORST.

παλαιὸς μὲν κ. τ. λ.] πρῶτοι δὲ (inquit Herodotus lib. ii. cap. 123.) καὶ τόνδε τὸν λόγον Αἰγύπτιοί εἰσι εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι. τοῦ σώματος δὲ καταφθίνοντος, ἐς ἄλλο ζῶον αἰεὶ γινόμενον ἐσδύεται· ἐπεὰν δὲ περιέλθῃ πάντα τὰ χερσαῖα καὶ τὰ θαλάσσια καὶ τὰ πτηνὰ, αὖτις ἐς ἀνθρώπου σῶμα γινόμενον ἐσδύνειν.—τούτῳ τῷ λόγῳ εἰσὶ οἳ Ἑλλήνων ἐχρήσαντο, οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον, ὡς ἰδίῳ ἑωϋτῶν ἐόντι· τῶν ἐγὼ εἰδὼς τὰ οὐνόματα, οὐ γράφω. Pythagoricos vero hic potissimum respicere Herodotum, cuivis facile patet. Quam arcte præexistentia animæ apud antiquos philosophos cum ejus post mortem existentia erat connexa, notavit Cudworthus in System. Intell. Univ. p. 38. et seq. Quid denique de hac re sensit Aristoteles, videre est in ejus l. i. de Anim. c. 3. in fine. FORST.

παλαιὸς μὲν κ. τ. λ.] Empedoclis versiculos Cyrill. c. Julian. vii. p. 243. D. ita exhibet Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κούρη τε, κόρος τε, Θάμνος τ', οἰωνός τε, καὶ εἰν ἁλὶ φαίδιμος ἰχθύς· et in Philosophum Origen. c. 3. p. 50. Ἤτοι μὲν γὰρ ἐγὼ γενόμην κοῦρός τε, κόρη τε, Θάμνος τ', οἰωνός τε, καὶ ἐξ ἁλὸς ἔμπορος ἰχθύς· ubi v. Wolfius. add. Ælianus H. A. xii. 7. FISCH.

παλαιὸς μὲν οὖν ἐστί τις ὁ λόγος] Habet Stob. Eclog. Phys. p. 95. Principium notat Tertullian. de Anima, xxiii. p. 275. 'Illius (Platonis) est enim in Phædone, quod animæ hinc euntes sint illuc, et inde huc.' Olympiodorus p. 20. κατασκευάζει ἡ λέξις ἐκ τῆς μαρτυρίας τῶν παλαιῶν ποιητῶν· ἀπὸ Ὀρφέως φησὶ λέγοντος 'Οἱ δ' αὐτοὶ πατέρες καὶ υἱέες ἐν μεγάροισι, Ἠδ' ἄλοχοι σεμναὶ κεδναί τε θύγατρες.' Πανταχοῦ γὰρ ὁ Πλάτων παρῳδεῖ τὰ Ὀρφέως· οὕτω γοῦν καὶ ἀνωτέρω ἔλεγεν·—Ἀλλὰ μὴν καὶ ὁ Ἐμπεδοκλῆς ἔφη, 'Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε, Θαμνός τ' οἰωνός τε καὶ εἰν ἁλὶ νήχυτος ἔξαλλα ἄμφορος ἰχθύς.' Ὁ δέ γε Πρόκλος, ἤτοι ὁ Συριανὸς κατασκευάζει ὅτι τὸ ζῶν καὶ τὸ τεθνεὼς ἐξ ἀλλήλων· ὅτι ἡ ζωὴ καὶ ὁ θάνατος σύγκρισις καὶ διάκρισις· ταῦτα δὲ ἐναντία· τὰ δὲ ἐναντία μεταβάλλει εἰς ἄλληλα κ. τ. λ. Orphei versus hinc in ed. Gesner. transscripti p. 409. Empedoclei varia lectione interpolati, rectius, quamquam diverse, exstant apud Diog. L. viii. 77. Athen. viii. p. 365. E. et Argumentum hoc, contraria e contrariis fieri et in contraria perire, longam habet tractationem in Olympiodori Cod. i. p. 1—41. ex Iamblichi et Syriani interpretationibus ductam. Comparandus est hæc attingens Aristot. Phys. Ausc. i. 7. de Generat. et Corrupt. ii. 10. illic Simplic. et de Cœlo i. p. 83. A. fin. Metaphys. vii. 5. de Metempsychosi multi multa: nos in Disputatione de Placito Immortal. Anim. §. ii. Cæterum παλαιὸς λόγος dicitur idem immortalitatis placitum Platoni Epist. vii. p. 716. B. πείθεσθαι δ' οὕτως ἀεὶ χρὴ τοῖς παλαιοῖς τε καὶ ἱεροῖς λόγοις, οἳ δὴ μηνύουσιν ἡμῖν ἀθάνατον ψυχὴν εἶναι. Comparetur Menon. p. 16. G. WYTT.

οὗτος[f] οὗ μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι[g] ἐκεῖ[h] καὶ πάλιν γε[i] δεῦρο ἀφικνοῦνται καὶ γίγνονται ἐκ τῶν τεθνεώτων. [§. 41.] Καὶ εἰ τοῦθ' οὕτως ἔχει, πάλιν γίγνεσθαι ἐκ τῶν ἀποθανόντων τοὺς ζῶντας, ἄλλο τι εἶεν[j] ἂν ἡμῶν αἱ ψυχαὶ[k] ἐκεῖ; οὐ γὰρ ἄν που πάλιν ἐγίγνοντο μὴ οὖσαι, καὶ τοῦτο ἱκανὸν τεκμήριον τοῦ ταῦτ' εἶναι, εἰ τῷ ὄντι φανερὸν γένοιτο[l] ὅτι οὐδαμόθεν ἄλλοθεν γίγνονται οἱ ζῶντες ἢ ἐκ τῶν τεθνεώτων. εἰ δὲ μή ἐστι τοῦτο, ἄλλου ἄν του δέοι λόγου. Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης. Μὴ τοίνυν κατ' ἀνθρώπων, ἦ δ' ὅς, σκόπει μόνον τοῦτο, εἰ βούλει ῥᾷον[m] μαθεῖν, ἀλλὰ καὶ[n] κατὰ ζώων πάντων καὶ φυτῶν,[o] καὶ ξυλλήβδην ὅσα περ ἔχει[p] γένεσιν, περὶ[q] πάντων ἴδωμεν,[r] ἆρ' οὑτωσὶ[s] γίγνεται ἅπαντα,[t] οὐκ[u] ἄλλοθεν ἢ ἐκ τῶν ἐναντίων τὰ ἐναντία, ὅσοις τυγχάνει ὂν τοιοῦτόν τι, οἷον τὸ κα-

λόγος 𝔄ΓΠΦΥLs : τις ὁ λόγος *s.—[f] οὗτος om 𝔄Πs.—[g] ἀφικνούμεναι Δ.—[h] ἐκεῖσε L.—[i] γε om ΦIs.—[j] τι εἶεν pr Π, τι δὴ ἢ εἶεν Δ : τι ἢ εἶεν *s.—[k] αἱ ψυχαὶ ἡμῶν 𝔄Π.—[l] γένοιτο ΔΦs : γίγνοιτο *s.—[m] ῥᾶον 𝔄Π : ῥάδιον *s.—[n] primum καὶ om pr Γ.—[o] φοιτῶν Δ.—[p] ὅσα παρέχει s.—[q] περὶ om G.—[r] ἴδωμεν Φ et pr Γ : εἰδῶμεν *s.—[s] οὕτω Φ, οὕτως Δs.—[t] πάντα 𝔄ΔΠΦs et pr G.—[u] καὶ οὐκ ΔC.—[v] τὸ H.—

παλαιὸς ὁ λόγος] Olymp. in Fragm. Orph. p. 510. ed. Herm. Ὀρφικός τε γὰρ καὶ Πυθαγόρειος, ὁ πάλιν ἄγων τὰς ψυχὰς εἰς τὸ σῶμα καὶ πάλιν ἀπὸ τοῦ σώματος ἀνάγων, καὶ τοῦτο κύκλῳ πολλάκις. Plato Menon. p. 81. B. καὶ Πίνδαρος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν, ὅσοι θεῖοί εἰσιν—φασὶ—τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον, καὶ τότε μὲν τελευτᾷν, ὃ δὴ ἀποθνήσκειν καλοῦσι, τοτὲ δὲ πάλιν γίγνεσθαι, ἀπόλλυσθαι δὲ οὐδέποτε κ. τ. λ.—ὁ λόγος οὗτος. οὗτος deest in Tub. Heind.

§. 41. οὕτως ἔχει, πάλιν γίγνεσθαι] Expectabam πάλιν γίγνονται—οἱ ζῶντες, vel certe ὡς aut ὥστε πάλ. γίγνεσθαι, ut de Rep. v. p. 477. A. εἰ δὲ δή τι οὕτως ἔχει, ὡς εἶναί τε καὶ μὴ εἶναι, οὐ μεταξὺ ἂν κέοιτο τοῦ εἰλικρινῶς ὄντος etc. Eurip. Med. 308. Οὐχ ὧδ' ἔχει μοι—Ὥστ' εἰς τυράννους ἄνδρας ἐξαμαρτάνειν. Nunc structura sermonis sic procedit, quasi scripsisset εἰ τοῦτ' ἀληθές ἐστι. Tum Tub. αἱ ψυχαὶ ἡμῶν. Heind.

τοῦ ταῦτ' εἶναι] Sic omnes nostri: mihi tamen nexus requirere videtur, καὶ τούτου ἱκανὸν τεκμήριον τοῦτ' ἂν εἴη—. Wytt.

τοῦ ταῦτ' εἶναι] I. e. τοῦ τὰς ψυχὰς ἡμῶν ἐκεῖ εἶναι. Ex Aristippi versione Ms. pro ταῦτα Forsterus profert αὐτὰς, quam scripturam, suffragantibus Codd. ego quoque præferrem. Heind.

ῥᾷον] Vulgo ῥᾴδιον. Alterum e Tub. et Stob. receperat jam Fisch. Eodem vitio liberandus locus de Rep. ii. p. 370. Ἀλλ' ἴσως, ὦ Σώκρατες, οὕτω ῥᾴδιον ἢ κείνως. et, ut monet Buttmannus, Menon. p. 94. E. ὡς ἴσως μὲν καὶ ἐν ἄλλῃ πόλει ῥᾴδιόν ἐστι κακῶς ποιεῖν ἀνθρώπους ἢ εὖ, ἐν τῇδε δὲ καὶ πάνυ. Contra de Legg. iii. p. 676. B. δοκεῖς ἄν ποτε κατανοῆσαι χρόνου πλῆθος ὅσον γέγονε. Κλ. Οὔκουν ῥᾷόν γε οὐδαμῶς, vide ne scribi debeat ῥᾴδιον. Heind.

κατὰ ζώων πάντων καὶ φυτῶν] Olymp. Τινὲς ἐκ τούτου τοῦ ῥισιδείου (ῥησιδίου) ἀπατηθέντες, ᾠήθησαν τὸν Πλάτωνα πᾶσαν ψυχὴν ἀθανατίζειν...ἄμεινον δὲ ὁ φιλόσοφος Ἀμμώνιος ἐξηγήσατο τὸ χωρίον τοῦτο, λέγων ὅτι τοῦτό φησι πρὸς τὸ ἐφεξῆς ἐπιχείρημα, τὸ κατασκευάζον ὅτι τὰ ἐναντία μεταβάλλει εἰς ἄλληλα. Forst.

ἴδωμεν] Sic Stob. et Vind. B. Vulgo et cæteri, εἰδῶμεν, quod est *sciamus*, nec sententiæ congruit. Wytt.

ἴδωμεν] *Videamus.* Sic pro vulgato εἰδῶμεν Stob. et Olympiod. Heind.

ἐκ τῶν ἐναντίων τὰ ἐναντία] Olymp. Ὅτι γὰρ τὰ ἐναντία μεταβάλλει εἰς ἀλ-

λὸν τῷ[v] αἰσχρῷ ἐναντίον που καὶ δίκαιον[w] ἀδίκῳ, καὶ ἄλ-
λα δὴ μυρία οὕτως ἔχει. [§. 42.] Τοῦτ' οὖν[x] σκεψώ-
μεθα, ἆρα[y] ἀναγκαῖον ὅσοις[z] ἔστι τι[a] ἐναντίον, μηδαμόθεν
ἄλλοθεν αὐτὸ[b] γίγνεσθαι ἢ ἐκ τοῦ αὐτῷ ἐναντίου. οἷον ὅταν
μεῖζόν τι[c] γίγνηται, ἀνάγκη που ἐξ ἐλάττονος ὄντος πρό-
τερον ἔπειτα[d] μεῖζον γίγνεσθαι; Ναί. Οὐκοῦν κἂν ἔλατ- II. iii. 31.
τον γίγνηται, ἐκ μείζονος ὄντος πρότερον ὕστερον ἔλαττον I. 71.
γενήσεται; Ἔστιν, ἔφη, οὕτως.[e] Καὶ μὴν ἐξ ἰσχυροτέρου
γε[f] τὸ ἀσθενέστερον καὶ ἐκ βραδυτέρου τὸ θᾶττον; Πάνυ
γε. Τί δαί;[g] ἄν τι χεῖρον[h] γίγνηται, οὐκ[i] ἐξ ἀμείνονος,
καὶ[j] ἐὰν[k] δικαιότερον, ἐξ[l] ἀδικωτέρου; Πῶς γὰρ οὔ; Ἱκα-
νῶς οὖν,[m] ἔφη, ἔχομεν τοῦτο, ὅτι[n] πάντα οὕτω γίγνεται,[o] ἐξ

οὖν
[w] τὸ δίκαιον τῷ Γ.—[x] τοῦτο οὖν add ꝘΔΠΦGs.—[y] ὅτι Γ.—[z] ὅσον L.—[a] τι om ΔΦs.—[b] ἑαυτῷ ΔΦGs, om L.—[c] τι μεῖζον Γ.—[d] ἔπειτα...201, 7. πρότερον om I: ἔπειτα μεῖζον γίγνεσθαι in mg rc E, omissis 201, 6. ναὶ...πρότερον.—[e] οὕτω ἔφη ꝘΠ.—[f] γε om ꝘΔΠΦGs.—[g] δαὶ ΓΞΤCH: δέ s.—[h] χεῖρον om I et pr E.—[i] οὐκ om pr E.—[j] κἂν Ꝙ.—[k] ἂν Ꝙs, ἄν τι Δ.—[l] ἐξ ꝘΓΛΠΥCEHIL: οὐκ ἐξ s.—[m] γοῦν ΔΦs.—[n] ὅτι

ληλα, δείκνυσιν ἡ λέξις τριχόθεν. πρῶτον μὲν, ἐκ τῆς ἐπαγωγῆς. παρατίθεται γὰρ πολλὰ ἐναντία, ἃ δείκνυσι μεταβάλλοντα εἰς ἄλληλα. δεύτερον, ἐκ τῶν γενεσέων αὐτῶν καὶ τῶν ὁδῶν. εἰ γὰρ αἱ ὁδοὶ μεταβάλλουσιν εἰς ἀλλήλας, οἷον ἡ λεύκανσις εἰς τὴν μέλανσιν, πολλῷ μᾶλλον καὶ τὰ τέλη μεταβάλλουσιν εἰς ἄλληλα, οἷον τὸ λευκὸν καὶ τὸ μέλαν. τρίτον, ὅτι χωλεύοι ἡ φύσις, εἰ ἓν μὲν τῶν ἐναντίων μεταβάλλει εἰς τὸ ἄλλο, ἓν δὲ οὐ μεταβάλλει. καὶ τῷ χρόνῳ ἐπιλείποι θάτερον τῶν ἐναντίων, καὶ οὐδὲν ἐναντίον ἔσται, τὸ λοιπὸν μηδὲν ἔχον εἰς ὃ μεταβαλεῖ. Hæc autem de rerum contrariarum ex contrariis generatione doctrina, teste in Physicis, l. i. c. 6. Aristotele, omnium quodammodo philosophorum communis erat. FORST.

οἷον τὸ καλὸν τῷ αἰσχ.] Aug. *τῷ καλῷ τὸ αἰσχρόν*. Bene, si sequeretur *καὶ δικαίῳ ἄδικον*. HEIND.

§. 42. *ἆρα ἀναγκαῖον*] Forsan *ἄρα εἰ ἀναγκαῖον*. MUDG. Idemque legisse videntur Aristip. et Cornar. FORST.

ἆρα ἀναγκαῖον] *An necesse sit.* Novum accidit *ἆρα* pro *εἰ*. Melius interpungitur in Stob. p. 95. *τοῦτο οὖν σκεψώμεθα, ἆρα ἀναγκαῖον—; hoc ergo consideremus: an necesse est—?* Vind. G. dat *οὖν εἰ* pro *ἆρα*. WYTT.

ἆρα ἀναγκ.] Fischerum secutus dedi scripturam Codd. Tub. Par. et Stob. pro vulgata *ἆρα ἀναγκαῖον* etc. in qua male desideratur particula copulans. Lach. p. 190. D. *Τοῦτο τοίνυν πρῶτον ἐπιχειρήσωμεν—εἰπεῖν, ἀνδρία τί ποτ' ἐστιν*, atque ita Plato sexcenties alibi. Hoc igitur *τοῦτ' οὖν* si a scriptoris manu profectum est, (a librario additum mihi quidem non videtur): correctoris est lectio in Aug. *σκεψώμεθα οὖν εἰ*. Absque codicibus illis amplecterer Mudgii conjecturam. HEIND.

αὐτὸ γίγν.] Accuratius scripsisset *αὐτῶν ἕκαστον γίγνεσθαι.* Par est ratio de Legg. ii. p. 667. B. *Οὐκοῦν πρῶτον μὲν δεῖ τόδε γε ὑπάρχειν ἅπασιν ὅσοις συμπαρέπεταί τις χάρις, ἢ τοῦτο αὐτὸ μόνον αὐτοῦ τὸ σπουδαιότατον εἶναι, ἤ τινα ὀρθότητα, ἢ τὸ τρίτον ὠφέλειαν,* ubi *αὐτοῦ* pro *αὐτῶν ἑκάστου*. HEIND.

ἔφη, οὕτω] Tub. *οὕτω, ἔφη*. Ab eodem abest proximum *γε*.—*ἐξ ἀδικωτέρου*. Præfixum his vulgo *οὐκ* cum Aug. Tub. Par. et Ficino expunxi. HEIND.

ἱκανῶς—ἔχομεν τοῦτο] *Hoc satis percipimus.* Sic infra §. 52. *ἔχω παρ' ἐμαυτῷ.* Theæteto p. 119. C. *ἔχεις τοῦτο ἰσχυρῶς; an hoc firmiter percepisti, statuis.* Leg. iv. p. 598. D. *ἔχετε γὰρ ὃ λέγω που.* WYTT.

ἱκανῶς οὖν—ἔχομεν] *Satisne hoc scimus persuasumque nobis habemus?* §.

ἐναντίων τὰ ἐναντία πράγματα; Πάνυ γε. Τί δ' αὖ;
ἔστι[p] τι καὶ τοιόνδε ἐν αὐτοῖς οἷον μεταξὺ ἀμφοτέρων πάν-
των[q] τῶν ἐναντίων δυοῖν ὄντοιν δύο γενέσεις, ἀπὸ μὲν τοῦ
ἑτέρου ἐπὶ τὸ ἕτερον, ἀπὸ[r] δ' αὖ τοῦ ἑτέρου πάλιν ἐπὶ τὸ
ἕτερον; μείζονος μὲν[s] γὰρ πράγματος καὶ ἐλάττονος με-
ταξὺ αὔξησις καὶ[t] φθίσις, καὶ καλοῦμεν οὕτω τὸ μὲν αὐ-
ξάνεσθαι, τὸ δὲ φθίνειν; Ναί, ἔφη. [§. 43.] Οὐκοῦν καὶ
διακρίνεσθαι καὶ συγκρίνεσθαι, καὶ ψύχεσθαι καὶ θερμαί-
νεσθαι, καὶ πάντα οὕτω, κἂν εἰ μὴ χρώμεθα τοῖς ὀνόμασιν
ἐνιαχοῦ, ἀλλ' ἔργῳ γοῦν πανταχοῦ οὕτως ἔχειν ἀναγκαῖον,
γίγνεσθαί τε αὐτὰ ἐξ ἀλλήλων γένεσίν τε εἶναι ἑκατέρου
§. 18. W. εἰς[u] ἄλληλα; Πάνυ γ',[v] ἦ δ' ὅς. Τί οὖν; ἔφη, τῷ ζῆν
ἔστι τι ἐναντίον, ὥς περ τῷ ἐγρηγορέναι[w] τὸ καθεύδειν;
H. iii. 32. Πάνυ μὲν οὖν, ἔφη. Τί;[x] Τὸ τεθνάναι, ἔφη. Οὐκοῦν ἐξ
ἀλλήλων τε[y] γίγνεται ταῦτα, εἴ περ ἐναντία ἐστί, καὶ αἱ[z]
γενέσεις εἰσὶν αὐτοῖν[a] μεταξὺ δύο δυοῖν ὄντοιν; Πῶς γὰρ
οὔ;[b] Τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν ὧν νῦν δὴ ἔλεγον,

...πράγματα om G.—[o] γίγνηται Δ.—ἔστι γε rc Π.—[p] ἔτι ΔΦs et mg 𝔄.—[q] τούτων L.—[r] ἀπὸ...ἕτερον om Δ.—[s] μὲν add 𝔄ΔΠΦGs.—[t] καὶ ante φθίσις om L.—[u] εἶναι ἐξ ἑκατέρων εἰς 𝔄ΔΠΦG, ἐξ ἑκατέρων εἶναι εἰς s.—[v] μὲν οὖν 𝔄Π.—[w] τὸ ἐγρηγορέναι Δ.—[x] τί...ἔφη om Φ.—[y] τι Δ, om G.—[z] αἱ om pr Λ.—[a] αὐτοῖν 𝔄ΔΠΦGs: αὐ-

113. *Τοῦτο δὲ ἁπλῶς—ἔχω παρ' ἐμαυτῷ, ὅτι οὐκ ἄλλο τι ποιεῖ αὐτὸ καλὸν ἢ ἐκείνου τοῦ καλοῦ—παρουσία.* de Rep. v. p. 477. A. *Ἱκανῶς οὖν τοῦτο ἔχομεν κἂν εἰ πλεοναχῇ σκοποῦμεν, ὅτι τὸ μὲν παντελῶς ὂν παντελῶς γνωστόν.* Heind.

τί δ' αὖ; ἔστι τι κ. τ. λ.] Olymp. *Ἐντεῦθεν τὸ δεύτερον ἐπιχείρημα, τὸ ἐκ τῶν ὁδῶν, ὅτι αἱ ὁδοὶ ἐναντίαι εἰσὶ καὶ μεταβάλλουσιν εἰς ἀλλήλας, πολλῷ μᾶλλον καὶ τὰ τέλη.* Forst.

δυοῖν ὄντοιν δύο γενέσεις] Perperam vulgo distinguunt *δυοῖν ὄντοιν· δύο γεν.* Heind.

μείζονος μὲν] Loco vulgati *γὰρ* recepi *μὲν* e Tub. et Par. Ficinus: *sane inter majus atque minus* etc. Heind.

§. 43. *γίγνεσθαι—γένεσίν τε εἶναι*] Olymp. *Οὐκ ἀδολεσχεῖ ὁ Πλάτων, ἀλλὰ τὸ μὲν γίγνεσθαι αὐτὰς ἐξ ἀλλήλων περὶ τῶν ὁδῶν εἴρηται, τὸ δὲ γένεσιν εἶναι ἑκατέροις, περὶ τῶν τελῶν.* Forst.

ἑκατέρου] Olymp. *ἑκατέροις*, quæ quidem optima videtur lectio. Forst.

ἑκατέρου] Male Tub. *ἐξ ἑκατέρου.* Nam §. 44. *ἐκ τῶν τεθνεώτων ἂν εἴη γένεσις εἰς τοὺς ζῶντας αὕτη*, alia est ratio. Hic post *ἐξ ἀλλήλων* in altero membro *ἐξ ἑκατέρου* inferri non debuit. Statim post Tub. *Πάνυ μὲν οὖν* pro *Πάνυ γε.* Heind.

τί οὖν;] Excerpsit hunc locum usque ad verba *τὸ ἀναγκαῖον οὕτως ἔχειν* c. 16. extr. Stobæus Ecl. Phys. i. p. 95. Fisch.

ἐξ ἀλλήλων τε γίγνεται ταῦτα] Jo. Philoponus explicans Aristot. Phys. Auscult. i. 5. statuentem *contraria e contrariis fieri*, fol. C. p. 12. et 15. hunc Platonis locum significans *μετ' ἄλληλα* legisse videtur: *ὁ Πλάτων ἐν τῷ Φαίδωνι κυριώτερον ὠνόμασε μετ' ἄλληλα αὐτὰ εἰρηκώς.* quæ sane lectio nexui disputationis Platonicæ repugnat, et temeritatis Philoponum arguit. Wytt.

αὐτοῖν] Ita pro *αὐτῶν* scripsi e Tub. et Stob. Heind.

συζυγίαν, ὧν νῦν] Olymp. *συζυγίαν ὡς νῦν.* Forst.

ἑτέραν συζυγίαν] Latini *συζυγίαν* interpretantur: *dissidentium conjunctio-*

ἐγώ σοι, ἔφη, ἐρῶ, ὁ Σωκράτης, καὶ αὐτὴν καὶ τὰς γενέσεις· σὺ δέ[c] μοι τὴν ἑτέραν. λέγω δὲ τὸ μὲν καθεύδειν, τὸ δὲ[d] ἐγρηγορέναι,[e] καὶ[f] ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι γίγνεσθαι καὶ[g] ἐκ τοῦ ἐγρηγορέναι τὸ[h] καθεύδειν, καὶ τὰς γενέσεις αὐτοῖν τὴν μὲν καταδαρθάνειν εἶναι, τὴν δὲ ἀνεγείρεσθαι.[i] [§. 44.] Ἱκανῶς σοι, ἔφη,[j] ἢ οὔ; Πάνυ μὲν οὖν. Λέγε δή μοι καὶ σύ,[k] ἔφη, οὕτω[l] περὶ ζωῆς καὶ θανάτου. οὐκ ἐναντίον μὲν[m] φῂς τῷ[n] ζῆν τὸ τεθνάναι εἶναι;[o] Ἔγωγε. Γίγνεσθαι δὲ ἐξ ἀλλήλων; Ναί. Ἐξ οὖν τοῦ ζῶντος τί τὸ γιγνόμενον; Τὸ τεθνηκός, ἔφη. Τί δαί,[p] ἦ δ' ὅς, ἐκ

τῶν *s.—[b] γὰρ οὐ om L.—[c] δή L.—[d] δὴ τὸ ΦL, δὴ τὸ δὴ τὸ s.—[e] δὲ τὸ ἐγρηγορέναι pr Π.—[f] καὶ...καθεύδειν in mg ponit 𝔄.—[g] καὶ...ἐγρηγορέναι om pr Γ.—[h] τὸ... καθεύδειν om Δ.—[i] ἀναγείρεσθαι Δ.—[j] ἔφη ΞΠΦCEHIs et pr ΓG: ἔφην s.—[k] μοι καὶ σὺ 𝔄Π: καὶ σύ μοι *s.—[l] οὕτω om G.—[m] μὲν om E.—[n] τὸ Δ.—[o] εἶναι om G.

nem seu *conjugata*, quæ sunt ejusmodi notiones, quæ quodammodo affectæ sunt ad id, de quo quæritur. (Cic. Top. 3.) Contendit inter se bina paria contrariorum, quorum alterum τὸ καθεύδειν et ἐγρηγορέναι, alterum τὸ ζῆν et τεθνάναι; quarum notionum altera ad alteram affecta est. Gottl.

τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν] De hujus decreti temerario usu monuimus in Disputat. de Placit. Immortal. Anim. §. 5. Est autem συζυγία sensu dialectico, *copulatio disjunctorum, par contrariorum*: v. c. aliquid, nihil: vita, mors: somnus, vigilia: cæt. Harum consequentiam Plutarch. de Solert. Animal. ita reprehendit, ut ex hoc Platonis loco aliquid coloris traxisse videatur p. 960. B. ἐδόκει γάρ τι πραγματικῶς οἷον ἀντηχεῖν ἐκ τῆς Στοᾶς, ὡς τῷ θνητῷ τὸ ἀθάνατον ἀντίκειται, καὶ τῷ φθαρτῷ τὸ ἄφθαρτον, καὶ σώματί γε τὸ ἀσώματον· οὕτως ὑπάρχοντι τῷ λογικῷ χρῆναι τὸ ἄλογον ἀντικεῖσθαι καὶ ἀνθυπάρχειν, καὶ μὴ μόνην ἐν τοσαῖσδε συζυγίαις ἀτελῆ τήνδε λείπεσθαι καὶ πεπηρωμένην·—εἰ δέ τις ἀξιοῖ μὴ κολοβὸν εἶναι τὴν φύσιν, ἀλλὰ τὴν ἔμψυχον φύσιν ἔχειν τὸ μὲν λογικόν, τὸ δὲ ἄλογον· ἕτερος ἀξιώσει τὴν ἔμψυχον φύσιν ἔχειν τὸ μὲν φανταστικόν, τὸ δὲ ἀφαντασίωτον. Sequitur, ut invictum, Philo Jud. de Mund. Incorrupt. p. 957. A. τῶν ἐν ταῖς συζυγίαις ἐναντίων ἀμήχανον, τὸ μὲν εἶναι, τὸ δὲ μή· λευκοῦ γὰρ ὄντος, ἀνάγκη καὶ μέλαν ὑπάρχειν, καὶ μεγάλου βραχύ, καὶ περιττοῦ ἄρτιον, καὶ γλυκέος πικρόν, καὶ ἡμέρας νύκτα, καὶ ὅσα τούτοις ὁμοιότροπα. Columella de R. R. ii. 2. 2. 'Recurrendum est igitur ad qualitatum inter se dissidentium quasi quasdam conjunctiones, quas Græci συζυγίας ἐναντιοτήτων, nos *discordantium comparationes*, tolerabiliter dixerimus.' Nomen χωλὸς eleganter dicitur de rebus, quæ in duarum partium altera deficiunt: et ex hoc loco annotavit Suidas in Χωλός. ἀντὶ τοῦ ἀτελής· περὶ ψυχῆς Πλάτων. Ἀλλ' εἰ ταύτῃ ἔσται χωλὴ ἡ φύσις. Simile est Plutarchi Cimone p. 489. C. παρακαλῶν μήτε τὴν Ἑλλάδα χωλήν, μήτε τὴν πόλιν ἑτερόζυγα περιιδεῖν γεγενημένην· *adhortans, ne sinerent Græciam claudam, et urbem Athenarum altera sua pari Lacedæmone orbari.* Sic et verbum χωλεύειν usurpatur, quod illustravimus ad Pseudo-Plutarch. de Educatione p. 2. B. Wytt.

σὺ δέ μοι τὴν ἑτέραν] Sc. ἐρεῖς. de Legg. vii. p. 821. D. ταῦτ' οὖν ὡς ἔχοντα ἔσθ' οὕτω, πειρῶ σὺ μὲν ἐξηγεῖσθαι πάντως· ἡμεῖς δὲ ξυνέπεσθαί σοι μανθάνοντες (sc. πειρασόμεθα). Heind.

λέγω δὲ] Aug. λέγω δή. Mox in eodem libro et Ficin. post καταδαρθάνειν omissum εἶναι. Heind.

§. 44. ἱκανῶς σοι, ἔφη] Cf. Menon. p. 75. B. ἔστω—ἡμῖν τοῦτο τὸ σχῆμα, ὃ μόνον τῶν ὄντων τυγχάνει χρώματι ἀεὶ ἑπόμενον. Ἱκανῶς σοι; ἢ ἄλλως πως ζητεῖς; Unde h. l. ἔφη scripsi cum Aug. Vulgo Ἱκανῶς σοι ἔφην, ἢ οὔ;—καὶ σύ μοι. Tub. μοι καὶ σύ. Heind.

τοῦ τεθνεῶτος;[q] Ἀναγκαῖον, ἔφη, ὁμολογεῖν ὅτι τὸ ζῶν. Ἐκ τῶν τεθνεώτων ἄρα, ὦ Κέβης, τὰ ζῶντά τε[r] καὶ οἱ ζῶντες γίγνονται; Φαίνεται, ἔφη. Εἰσὶν ἄρα,[s] ἔφη,[t] αἱ ψυχαὶ ἡμῶν ἐν Ἅιδου. Ἔοικεν. Οὐκοῦν καὶ τοῖν γενεσέοιν τοῖν[u] περὶ[v] ταῦτα ἥ γ' ἑτέρα[w] σαφὴς οὖσα τυγχάνει; τὸ[x] γὰρ ἀποθνήσκειν σαφὲς δή που. ἢ οὔ; Πάνυ μὲν οὖν,
II. iii. 33. ἔφη. Πῶς οὖν, ἦ δ' ὅς, ποιήσομεν; οὐκ ἀνταποδώσομεν[y] τὴν ἐναντίαν γένεσιν, ἀλλὰ ταύτῃ[z] χωλὴ ἔσται ἡ φύσις; ἢ ἀνάγκη ἀποδοῦναι τῷ ἀποθνήσκειν ἐναντίαν τινὰ γένεσιν; Πάντως που, ἔφη. Τίνα ταύτην; Τὸ ἀναβιώσκεσθαι. Οὐκοῦν,[a] ἦ δ' ὅς, εἴ περ ἔστι τὸ ἀναβιώσκεσθαι, ἐκ[b] τῶν
I. 72. τεθνεώτων ἂν εἴη γένεσις εἰς τοὺς ζῶντας αὕτη, τὸ ἀναβιώσκεσθαι; Πάνυ γε. Ὁμολογεῖται[c] ἄρα ἡμῖν[d] καὶ ταύτῃ τοὺς ζῶντας ἐκ τῶν τεθνεώτων γεγονέναι[e] οὐδὲν[f] ἧττον ἢ τοὺς τεθνεῶτας ἐκ τῶν ζώντων. τούτου δὲ ὄντος ἱκανόν που ἐδόκει[g] τεκμήριον εἶναι ὅτι ἀναγκαῖον τὰς[h] τῶν τεθνεώτων ψυχὰς εἶναί που, ὅθεν δὴ[i] πάλιν γίγνεσθαι.[j] [§. 45.] Δοκεῖ μοι, ἔφη, ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων[k] ἀναγκαῖον
§. 12. W. οὕτως ἔχειν. Ἰδὲ τοίνυν, ἔφη,[l] ὦ[m] Κέβης, ὅτι οὐδ'[n] ἀδί-

—[p] δαὶ ΓΛCΗΙ: δὲ ς.—[q] τεθνηκότος G.—[r] τε om G.—[s] ἄρα εἰσὶν 𝔄Π.—[t] ἔφη om G.—[u] τοῖν γενεσέοιν τοῖν ΓΞΠΦς et pr 𝔄G, τοι γενεσέοιν τὴν Δ: ταῖν γενεσέοιν ταῖν (α) *ς.—[v] πρὶν Η.—[w] ἑτέρῳ Η.—[x] τί Λ.—[y] ἀποδώσομεν ΛΕ.—[z] ταῦτα Δ.—
[a] Οὐκοῦν...ἀναβιώσκεσθαι om ς.—[b] ἐκ...ἀναβιώσκεσθαι om Η.—[c] ὁμολογεῖται Υ, ὡμολόγηται Δ (ὡμολόγηται).—[d] ἡμῖν ἄρα ΔΦG: ἡμῖν om ς.—[e] γεγονέναι om pr G.—[f] οὐδὲν...ζώντων om G.—[g] ἐδόκει add 𝔄ΔΠΦCGς.—[h] τὰς...ἀναγκαῖον om Δ.—[i] δεῖ ΞC et corr Π.—[j] γίγνονται pr G.—[k] ὁμολογημένων Ι.—[l] τοίνυν οὕτως ἔφη 𝔄Π.—[m] ὁ L.

ἐκ τῶν τεθνεώτων ἄρα τὰ ζῶντά τε καὶ οἱ ζῶντες γίγνονται] Hoc argumentum nulla cum reprehensione memorat Alexander Aphrodis. in Aristot. Topica ii. p. 89. A. *οὕτω καὶ Πλάτων ἐν μὲν τῷ Φαίδωνι βουλόμενος δεῖξαι τὰς ψυχὰς ἐν ᾅδου οὔσας καὶ σωζομένας, ἔλαβεν, ᾧ τοῦτο ἕπεσθαι ᾤετο, τὸ ἐκ τῶν τεθνεώτων τοὺς ζῶντας γίνεσθαι· τοῦτο δὲ κατεσκεύασε διὰ τοῦ τὰ ἐναντία ἐκ τῶν ἐναντίων γίνεσθαι, ἐναντία δὲ εἶναι τὸ ζῆν καὶ τὸ τεθνάναι.* Wytt.

τοῖν γενεσέοιν τοῖν] Sic e Cod. Tub. pro *ταῖν γεν. ταῖν* rescripsit jam Fisch. Pro *γενεσέοιν*, quod h. l. libri scripti editique exhibent, grammaticorum norma requirit *γενέσεων*; sed itidem de Legg. x. p. 898. A. *Τούτοιν δὴ τοῖν κινησέοιν τοῖν ἐν ἑνὶ φερομένοιν.* Heind.

ἀναβιώσκεσθαι] In Pythagorea sententia *περὶ μετεμψυχώσεως* et *ἀναμνήσεως* quædam sunt scintillæ primigeniæ veritatis, quæ in illis tenebricosis commentis maligna quasi luce animadvertuntur: at quæ his de rebus collegi, placuit referre in meos comment. de doctr. suo nimirum et opportuno loco: ne genera permisceam. Serran.

ἱκανόν που ἐδόκει] Verbum *ἐδόκει*, quo carent Edd. præbuit Tub. cum Stob.—*ὅθεν δὴ πάλιν γίγνεσθαι.* An *ὅθεν δεῖ π. γ.*? Alioquin expectabam *ὅθεν δὴ πάλιν γίγνονται.* Heind.

§. 45. *ἰδὲ τοίνυν*] Tub. *ἰδὲ τοίνυν οὕ-*

κως ὡμολογήκαμεν, ὡς ἐμοὶ δοκεῖ. εἰ[o] γὰρ μὴ ἀεὶ ἀνταποδιδοίη τὰ ἕτερα τοῖς ἑτέροις γιγνόμενα, ὡσπερεὶ[p] κύκλῳ περιιόντα,[q] ἀλλ' εὐθεῖά τις εἴη ἡ[r] γένεσις ἐκ τοῦ ἑτέρου μόνον εἰς τὸ καταντικρὺ καὶ μὴ[s] ἀνακάμπτοι[t] πάλιν ἐπὶ[u] τὸ ἕτερον μηδὲ καμπὴν[v] ποιοῖτο,[w] οἶσθ' ὅτι πάντα τελευτῶντα τὸ αὐτὸ σχῆμα ἂν[x] σχοίη[y] καὶ τὸ αὐτὸ πάθος ἂν πάθοι καὶ παύσαιτο γιγνόμενα; Πῶς λέγεις; ἔφη. Οὐδὲν χαλεπόν, ἦ δ' ὅς, ἐννοῆσαι[z] ὃ λέγω· ἀλλ' οἷον εἰ τὸ[a] καταδαρθάνειν μὲν εἴη, τὸ δ' ἀνεγείρεσθαι μὴ ἀνταποδιδοίη II. iii. 34.

—[n] οὐκ ΞΥΔ.—[o] εἰ om pr Γ.—[p] ὡς περὶ H.—[q] περιόντα Γ.—[r] ἦν Δ.—[s] μὴ om I.—[t] ἀνακάμποι C: ἀνακάμπτη Eς.—[u] εἰς Γ.—[v] καμπτὴν s, καμπτὸν Υ.—[w] ποιοῖ (οῖ) ΓΛΞΗL et pr ΥG, ποιῇ E, ποιεῖ I.—[x] ἂν σχῆμα Λ.—[y] εἴη I.—[z] ἐννοήθητι (ut videtur) pr Π, ἐννόησον Λ, ἐννοήσασιν 𝔄.—[a] τὸ post εἰ om pr G.—[b] πάντα om Λ.—

τως, ἔφ. quod placeret, præfixo καὶ, ἰδὲ τοίνυν καὶ οὕτως, ut infra §. 66. ὅρα δὴ καὶ τῇδε, ὅτι etc. Nam novum infertur argumentum. Heind.

ὅτι οὐδ' ἀδίκως ὡμολογήκαμεν] *Nos non temere consensisse et statuisse.* Sic ἀδικεῖν et ἀδίκως de *temere disserendo ac statuendo* a Platone usurpatur: v. c. Theæt. p. 125. A. μὴ ἀδίκει ἐν τῷ ἐρωτᾷν· quod, quale sit, deinceps declaratur. Jone p. 148. B. Socratic. Epist. xxiii. p. 49. ἡμῖν δὲ οὐ τοσαύτη ἐστὶ σοφία, ἀλλ' ὁπόση μὴ ἀδικῆσαί τινας ἐν τῇ συνουσίᾳ. Wytt.

ἀνταποδιδοίη τὰ ἑτέρα τοῖς ἑτέροις] *Responderent altera alteris, debitas vices redderent.* Ut modo proprie et active ponebatur, sic nunc passive, seu neutre: cujus usus hoc unum exemplum prodidit Viger. de Idiotism. p. 186. In Platone alibi simplex ἀποδιδόναι hac notione occurrit: v. c. Theæt. p. 128. D. πάλιν αὖ τὰ ἀντίστροφα ἀποδίδωσιν· *rursus et vicissim contrarias pœnas pendit.* Phædro p. 341. A. τὸ εἰκὸς ἀποδιδόασιν· *in consentaneam pœnam incidunt.* Decompositum est Rep. viii. 499. E. τὸ ἄγαν τὶ ποιεῖν μεγάλην φιλεῖ εἰς τοὐναντίον μεταβολὴν ἀνταποδιδόναι· *vehementer quid agere in magnam contrariam commutationem vertitur:* et apud Plutarch. de Exilio p. 608. F. πολλαπλασίας ταῖς ἡδοναῖς ἐκείναις λύπας ἀνταποδιδόναι· *in multo plures voluptatibus illis calamitates incidere.* Wytt.

ἀνταποδιδοίη] ἀνταποδοῦναι hic ut paullo post positum οὐδετέρως significatu *respondendi.* Heind.

κύκλῳ περιϊόντα] Similiter Noster in Timæo, τοῦτο ἅμα πᾶν οἷον τροχοῦ περιαγομένου γίγνεται. Heracliti aliorumque philosophorum de perpetua rerum quasi in orbem revolutione sententias vide apud Gatak. in Antonin. p. 167. 301. Forst.

ὡσπερεὶ κύκλῳ περιϊόντα—μηδὲ καμπὴν ποιοῖτο] Locus totus est elegantissimus. Socrates it probatum, contraria fieri ex contrariis, ut, si horum alterum gignat alterum, hoc iterum sit principium alterius, ut hæc disjuncta quasi in orbem eant, non autem linea recta procedant. Utitur verbis ex curriculo Græcorum desumtis. Currus non cursum directum habebat, sed circa metas flectebatur. Unde καμπὴ vel καμπτὴρ, non modo metam, sed, quod flecteretur ad metas currus, flexum ipsum notat. Quæ omnia, pulchre transfert ad rem præsentem Plato. De καμπῇ et κάμπτειν qui plura velit, præsertim de usu vario harum vocum, adeat Salmas. ad Solin. 437. et 642. Cæterum hæc sententia non ex Socratica schola, sed potius Heracliti, desumta videtur: hic enim perpetuam rerum revolutionem in orbem statuebat. v. Pseudo-Orig. p. 54. et quos laudat Wolfius. Gottl.

ἀνακάμπτοι] Sic pro vitioso ἀνακάμπτῃ, Aug. Tub. et Bas. 2. ἀνακάμπτει, qui *circa metam currum flectit;* καμπὴν ποιεῖται, qui *retro deinde stadium recurrit.*—οἶσθ' ὅτι. Budæum hic et paullo post legentem ἴσθ' ὅτι (Comm. Gr. L. p. 516.) fefellerat formulæ usus, de quo dixi ad Gorg. §. 91. Heind.

